www.tezaurliturgic.ro



*Ἰσχύς μου καὶ ὕμνησίς μου ὁ Κύριος (Ψαλμ. 117, 14)*

*Ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω. (Ψαλμ. 145, 2)*

**************************************************************************

Δρος Χαραλάμπους Μ. Μπούσια
Μεγάλου Ὑμνογράφου τῆς τῶν Ἀλεξανδρέων Ἐκκλησίας

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

## ΕΙΣ ΤΟΝ ΑΡΤΙΩΣ ΕΚΛΑΜΨΑΝΤΑ ΟΣΙΟΝ ΚΑΙ ΘΕΟΦΟΡΟΝ ΠΑΤΕΡΑ ΗΜΩΝ Ν Ι Κ Η Φ Ο Ρ Ο Ν ΤΟΝ ΛΕΠΡΟΝ ΤΟΥΠΙΚΛΗΝ ΤΖΑΝΝΑΚΑΚΗΝ

*

*

* * * * *

*

*

Ἀθῆναι 2020

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

## ΕΙΣ ΤΟΝ ΑΡΤΙΩΣ ΕΚΛΑΜΨΑΝΤΑ

## ΟΣΙΟΝ ΚΑΙ ΘΕΟΦΟΡΟΝ ΠΑΤΕΡΑ ΗΜΩΝ

## Ν Ι Κ Η Φ Ο Ρ Ο Ν

## ΤΟΝ ΛΕΠΡΟΝ

## ΤΟΥΠΙΚΛΗΝ ΤΖΑΝΝΑΚΑΚΗΝ

**Ἡ μνήμη αὐτοῦ τελεῖται τῇ Δ΄ Ἰανουαρίου**

**Ποίημα Δρος Χαραλάμπους Μ. Μπούσια**

*********************************************************

**Εὐλογήσαντος τοῦ Ἱερέως τὸ Κύριε εἰσάκουσον, μεθ' ὃ τὸ Θεὸς Κύριος, ὡς συνήθως, καὶ τὸ ἑξῆς·**

**Ἦχος πλ. δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.**

Τὸν ἀγογγύστως τὰς πληγὰς ἐνεγκόντα
τῆς λέπρας μέλψωμεν, σεπτὸν Νικηφόρον,
ὥσπερ Ἰὼβ τὸ πρότερον καὶ τὴν ἐν δεινοῖς
καρτερίαν ᾄσμασιν, οἱ ἐν ταῖς ἀσθενείαις
ἀλγεινῶς τρυχόμενοι καὶ βοήσωμεν πίστει·
Ἐκ νοσημάτων πάντας χαλεπῶν
τοὺς σοὺς ἱκέτας ταχέως ἀπάλλαξον.

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.**

Οὐ σιωπήσομεν ποτέ, Θεοτόκε,
τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι.
Εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα,
τίς ἡμᾶς ἐρρύσατο ἐκ τοσούτων κινδύνων;
Τίς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους;
Οὐκ ἀποστῶμεν, Δέσποινα, ἐκ σοῦ·
σοὺς γὰρ δούλους σῴζεις ἀεὶ ἐκ παντοίων δεινῶν.

**Εἶτα ὁ Ν΄ Ψαλμὸς καὶ ὁ Κανών, οὗ ἡ ἀκροστιχίς·**

**" Νικηφόρε, νικητὴν ἐν νόσοις δεῖξόν με. Χ."**

**ᾨδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.**

Νοσούντων ὁ ἄμισθος ἰατρός,
λεπρὲ Νικηφόρε,
Θείας Χάριτος ποταμέ,
τοῖς νάμασι θείων πρεσβειῶν σου
ἡμῶν δεινὰς ἀσθενείας θεράπευσον.

Ἰάτρευσον πάθη τὰ σαρκικὰ
ἡμῶν, Νικηφόρε,
προστρεχόντων ταῖς σαῖς λιταῖς
πρὸς τὸν ἰατῆρα τῶν σωμάτων
καὶ τῶν ψυχῶν, Ἰησοῦν, τὸν ἀνάργυρον.

Κοσμῆτορ, πανόσιε, τῶν λεπρῶν,
ἰδεῖν, Νικηφόρε,
κατηξίωσαι τοῦ Χριστοῦ
τὸ κάλλος τὸ ἄῤῥητον προσώπου,
Οὗ καὶ ἡμᾶς κατιδεῖν καταξίωσον.

**Θεοτοκίον.**

Ἡ μόνη μερόπων καταφυγὴ
ἐν βίου ἀνάγκαις,
περιστάσεσι ζοφεραῖς
καὶ νόσοις καὶ θλίψεσι, Παρθένε,
ῥῦσαι ἡμᾶς πειρασμῶν καὶ συμπτώσεων.

**ᾨδὴ γ΄. Οὐρανίας ἁψῖδος.**

Φρέαρ βλῦζον ἐπώφθης
τοῖς ἀλγεινῶς στένουσι
νάματα, σεπτέ, ὑγιείας,
ἄμφω δυνάμεως
καὶ σθένους, μάκαρ λεπρέ,
θαυματουργὲ Νικηφόρε,
ὃν Χριστὸς ἀνέδειξε
Χάριτος πέλαγος.

Ὁσιώτατε πάτερ,

ὁ τῶν λεπρῶν δίοδον
τὴν στενὴν ἀνύσας προθύμως
καὶ εἰς θεώσεως
φθάσας σαφῶς πλατυσμόν,
δός, Νικηφόρε, λιταῖς σου
πᾶσιν εὐφημοῦσί σε
ἄμφω ὑγίειαν.

Ῥαντισμῷ χάριτός σου,
φίλε Θεοῦ γνήσιε,
πάντας καθαγίαζε, πάτερ,
σοὶ καταφεύγοντας
ἐν τοῖς τοῦ βίου δεινοῖς
καὶ πειρασμοῖς, Νικηφόρε,
ὃν Θεὸς δι' ἄφατον
πίστιν ἡγίασεν.

**Θεοτοκίον.**

Ἐλεοῦσα Παρθένε,
Μῆτερ Θεοῦ ἄχραντε,
Νικηφόρου θείου πρεσβείαις
πᾶσι κατάπεμψον
θεόθεν τοὺς οἰκτιρμοὺς
τοῦ εὐϊλάτου Υἱοῦ σου
καὶ Αὐτοῦ τὸ ἄμετρον,
Δέσποινα, ἔλεος.

Θεράπευσον
δεινῶς νοσοῦντας, πανόσιε Νικηφόρε,
ὁ τῆς λέπρας στεῤῥῶς σταυρὸν βαστάσας, τῇ χάριτι
πλουσίως δοθείσῃ σοι οὐρανόθεν.

Ἐπίβλεψον
ἐν εὐμενείᾳ, πανύμνητε Θεοτόκε,
ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν
καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

**Αἴτησις καὶ τὸ Κάθισμα.**
**Ἦχος β΄. Πρεσβεία θερμή.**

Στενὴν ἀτραπὸν τῆς λέπρας θείᾳ Χάριτι
ἀνύσας καλῶς εἰς πλάτος, πάτερ Ὅσιε,
Νικηφόρε, ἔφθασας

τῆς θεώσεως· ὅθεν ἀπείληφας
τὴν χάριν πέμπειν πᾶσι θαυμαστῶς
νοσοῦσι πλουσίως τὰ ἰάματα.

**ᾨδὴ δ΄. Εἰσακήκοα, Κύριε.**

Νικηφόρε, ἀγῶνάς σου
καὶ ὑπομονήν σου ἐν ἀσθενείαις σου
ὁ Θεοῦ Υἱὸς θεώμενος
ἔδειξέ σε κρήνην τῶν ἰάσεων.

Ἰατρεύεις νοσήματα
χαλεπὰ τῇ χάριτι Θείου Πνεύματος,
Νικηφόρε, λέπρας στίγματα
ὁ βαστάζων, ἔνθεε, ἐν σώματι.

Καθαγίασον, Ὅσιε
Νικηφόρε, νάμασι σῶν δεήσεων
πρὸς τὸν Ὕψιστον τοὺς σπεύδοντας
προσκυνῆσαι θήκην τῶν λειψάνων σου.

**Θεοτοκίον.**

Ἡ ἐν μήτρᾳ βαστάσασα
τὸν ἀεὶ βαστάζοντα κόσμου σύμπαντα,
Νικηφόρου παρακλήσεσι
πάντας ἐπευλόγει τοὺς ὑμνοῦντάς σε.

**ᾨδὴ ε΄. Φώτισον ἡμᾶς.**

Τύπον ἀρετῶν
ὡς παντοδαπῶν τιμῶντές σε,
Νικηφόρε, ἐκδεχόμεθα λιτὰς
διαθέρμους σου πρὸς Κύριον τὸν εὔσπλαγχνον.

Ἤσχυνας ἐχθρὸν
τῇ ἀμέμπτῳ πολιτείᾳ σου
καὶ ἐν νόσοις ἀκραιφνεῖ ὑπομονῇ,
Νικηφόρε, ἱκετῶν σου φύλαξ ἄγρυπνε.

Νεῦσον ταῖς ἡμῶν,
Νικηφόρε, παρακλήσεσι

καταπαύων τὰ σκιρτήματα σαρκός,
ἀσθενείας ἀγογγύστως ἧς ὑπέμεινας.

**Θεοτοκίον.**

Ἔμπλησον χαρᾶς,
Μῆτερ, καὶ ἀγαλλιάσεως
τὰς καρδίας οἰκετῶν σου, ἀγαθὴ
Θεοκῦμον, Νικηφόρου παρακλήσεσι.

**ᾨδὴ στ΄. Τὴν δέησιν.**

Νικήτορας σαῖς εὐχαῖς ἀνάδειξον,
Νικηφόρε, κατ’ ἐχθρῶν ἀοράτων
τοὺς σὲ τιμῶντας ὡς λεπροκομείου
σεπτὸν οἰκήτορα καὶ ἰσοστάσιον
Ἀνθίμου, τοῦ πανευλαβοῦς
ἱερέως ἐν Χίῳ, ἀσκήσεως.

Νῦν στένοντας, Νικηφόρε Ὅσιε,
εὐσεβεῖς ἐκ τοῦ ἰοῦ πανδημίας,
τοῦ κεκλημένου κορώνης, εὐχαῖς σου
θεοπειθέσιν ἀνάψυξον τάχιστα,
ἵνα ὑμνῶμέν σε τρανῶς
ἰατρὸν ὡς νοσούντων θεόσδοτον.

Ὁδήγησον τοὺς πανδήμως στένοντας
ἐκ λοιμώδους ἀσθενείας πρὸς δόμους
ἀγαλλιάσεως καὶ ὑγιείας,
σημειοφόρε λεπρέ, πάτερ Ὅσιε,
ὁ ὁδηγήσας πρὸς Θεόν,
Νικηφόρε, ἐν βίῳ σὰ βήματα.

**Θεοτοκίον.**

Σὲ μέλπομεν, Θεοτόκε Δέσποινα,
καθ’ ἑκάστην εὐσεβῶν αἱ χορεῖαι,
ὡς γλυκασμὸν τῶν Ἁγίων Ἀγγέλων
καὶ θλιβομένων χαράν, Μῆτερ, δούλων σου
ἐκδεχομένων σὰς εὐχὰς
πρὸς Υἱόν σου, Θεὸν τὸν εὐΐλατον.

Θεράπευσον
δεινῶς νοσοῦντας, πανόσιε Νικηφόρε,
ὁ τῆς λέπρας στεῤῥῶς σταυρὸν βαστάσας, τῇ χάριτι

www.tezaurliturgic.ro


πλουσίως δοθείσῃ σοι οὐρανόθεν.

Ἄχραντε,
ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως
ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον
ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

**Αἴτησις καὶ τὸ Κοντάκιον.**
**Ἦχος β΄. Τοῖς τῶν αἱμάτων σου.**

Ὃν αἰωρούμενον εἶδεν Εὐμένιος
ἐν προσευχῇ, Νικηφόρον, τιμήσωμεν,
τοῦ λεπροκόμου Ἀνθίμου ὁμότροπον,
ὡς ἰατρὸν ἀσθενούντων ἀνάργυρον,
λεπρόν, τυφλὸν καὶ παράλυτον Ὅσιον.

**Προκείμενον.** Οἱ Ἱερεῖς Σου, Κύριε, ἐνδύσονται δικαιοσύνην καὶ οἱ Ὅσιοί Σου ἀγαλλιάσει ἀγαλλιάσονται.
**Στίχος.** Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.

**Εὐαγγέλιον· Κατὰ Ἰωάννην ( Κεφ. ι΄ 9 -16 ).**
**Ὅρα εἰς τὴν Λειτουργίαν τῆς ΙΓ΄ Νοεμβρίου.**

Εἶπεν ὁ Κύριος· Ἐγώ εἰμι ἡ θύρα· δι' ἐμοῦ ἐάν τις εἰσέλθῃ, σωθήσεται, καὶ εἰσελεύσεται καὶ ἐξελεύσεται, καὶ νομὴν εὑρήσει. Ὁ κλέπτης οὐκ ἔρχεται εἰ μὴ ἵνα κλέψῃ καὶ θύσῃ καὶ ἀπολέσῃ· ἐγὼ ἦλθον ἵνα ζωὴν ἔχωσι καὶ περισσὸν ἔχωσιν. Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός. Ὁ ποιμὴν ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων, ὁ μισθωτὸς δὲ καὶ οὐκ ὢν ποιμήν, οὗ οὐκ εἰσὶ τὰ πρόβατα ἴδια, θεωρεῖ τὸν λύκον ἐρχόμενον καὶ ἀφίησι τὰ πρόβατα καὶ φεύγει· καὶ ὁ λύκος ἁρπάζει αὐτὰ καὶ σκορπίζει τὰ πρόβατα. Ὁ δὲ μισθωτὸς φεύγει, ὅτι μισθωτός ἐστι καὶ οὐ μέλει αὐτῷ περὶ τῶν προβάτων. Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός, καὶ γινώσκω τὰ ἐμὰ καὶ γινώσκομαι ὑπὸ τῶν ἐμῶν, καθὼς γινώσκει με ὁ πατὴρ κἀγὼ γινώσκω τὸν πατέρα, καὶ τὴν ψυχήν μου τίθημι ὑπὲρ τῶν προβάτων. Καὶ ἄλλα πρόβατα ἔχω, ἃ οὐκ ἔστιν ἐκ τῆς αὐλῆς ταύτης· κἀκεῖνά με δεῖ ἀγαγεῖν, καὶ τῆς φωνῆς μου ἀκούσουσι, καὶ γενήσεται μία ποίμνη, εἷς ποιμήν.

**Δόξα.**

Ταῖς τοῦ Σοῦ Ὁσίου
πρεσβείαις, Ἐλεῆμον,
ἐξάλειψον τὰ πλήθη
τῶν ἐμῶν ἐγκλημάτων.

**Καὶ νῦν.**

Ταῖς τῆς Θεοτόκου
πρεσβείαις, Ἐλεῆμον,
ἐξάλειψον τὰ πλήθη
τῶν ἐμῶν ἐγκλημάτων.

**Προσόμοιον. Ἦχος πλ β΄. Ὅλην ἀποθέμενοι.**

**Στίχος.** Ἐλεῆμον, ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα
ἔλεός Σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν Σου
ἐξάλειψον τὸ ἀνόμημά μου.

Πάμπτωχε ὁμότροπε
παραβολῆς τοῦ Λαζάρου,
Νικηφόρε Ὅσιε,
ἐν Ναῷ οὗ ἔψαλλες
τῷ Παντάνακτι,
τῷ αὐτοῦ, πάντιμε
πάτερ, φερωνύμῳ
ἐν λεπροκομείῳ, ἅπαντας
τοὺς σοὶ πρστρέχοντας
ἐν ἀγκάλαις ἐπαναπαύεσθαι
τοῦ Ἀβραὰμ ἀξίωσον
μετὰ πότμον σαῖς παρακλήσεσιν,
ὧνπερ ἀπολαύεις
ὡς σκεῦος καθαρὸν ὑπομονῆς
καὶ συμπαθείας πρὸς κάμνοντας
καὶ ἐν βίῳ στένοντας.

Σῶσον, ὁ Θεός, τὸν λαόν Σου...

**ᾨδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.**

Οἱ ἐν νόσοις ὡς θεῖον
ἰατρὸν σὲ τιμῶντες,
λεπρὲ πανόσιε,
προσφεύγομεν σῇ σκέπῃ,
θεόφρον Νικηφόρε,

Θείας Χάριτος σκήνωμα,
θεραπευτὰ ταχινὲ
τῶν σοὶ καταφευγόντων.

Ἱκετῶν σου ἀκέστωρ,
Νικηφόρε, ὑπάρχεις
ταχύς, ὁμόσκηνε
ἐν δόξῃ Εὐμενίῳ
ὀλβίῳ καὶ Ἀνθίμῳ,
μεθ᾽ ὧν νέμεις ὑγίειαν
ἄμφω τοῖς ὕμνοις λαμπροῖς
νῦν μεγαλύνουσί σε.

Σωτηρίας πρὸς τρίβους,
Νικηφόρε, ὁδήγει
τοὺς σοὶ προστρέχοντας
καὶ σὲ ὑμνολογοῦντας
ὡς γαληνὸν λιμένα
τῶν πιστῶν καὶ πανεύδιον
ἐν βίῳ, οἴμοι, δεινῶς
θαλαττευόντων, μάκαρ.

**Θεοτοκίον.**

Δέξαι ὕμνον, Παρθένε,
εὐλαβῶν σου προσφύγων,
Θεογεννήτρια,
τῶν σὲ μεγαλυνόντων
διάσωσμα ὡς κόσμου,
καὶ ὑμνούντων τὰ σκάμματα
τοῦ νέου ἐν ἀσκηταῖς
ὁσίοις, Νικηφόρου.

**Ὠδὴ η΄. Τὸν Βασιλέα.**

Ἐξάρπασόν με
ὀνύχων τοῦ παλαμναίου,
Νικηφόρε λεπρέ, ὁ μανίας
ἐκφυγὼν ἀσκήσει
αὐτοῦ καὶ ταπεινώσει.

Ἱκάνωσόν με
τυχεῖν εὐκλείας τῆς θείας,
Νικηφόρε, ἧς ἐπαπολαύεις

ὡς κοσμήτωρ νέος
Χριστοῦ τῆς Ἐκκλησίας.

**Ξ**ενίας θείας
ἐν οὐρανοῖς, Νικηφόρε,
καταξίωσον σοὺς ὑμνηπόλους,
σπεύδοντας ἐν δίναις
τῇ σῇ ἐπιστασίᾳ.

**Θεοτοκίον.**

**Ὄ**μβρισον πᾶσι
τὸν ὑετὸν σῆς ἀγάπης,
ὀμβροτόκε νεφέλη, Παρθένε,
Νικηφόρου θείου
ψεκάσι συμπαθείας.

**ᾨδὴ θ΄. Κυρίως Θεοτόκον.**

**Ν**ῦν σὲ παρακαλοῦμεν·
Δόξης αἰωνίου
καὶ οὐρανῶν χαρμονῆς καταξίωσον
τοὺς εὐλαβῶς, Νικηφόρε, σὲ μακαρίζοντας.

**Μ**ὴ παύσῃ, Νικηφόρε
μάκαρ, οὐρανόθεν
ἐκδυσωπῶν τὸν Θεον δοῦναι ἅπασιν
ἄμφω ὑγίειαν, πάτερ, τοῖς εὐφημοῦσί σε.

**Ἐ**ν βίῳ ἀγογγύστως
ὁ καθυπομείνας
τῆς λέπρας μάστιγα, πάτερ, ἀξίωσον
τοὺς εὐσεβεῖς ὑπομένειν δεινὰ νοσήματα.

**Θεοτοκίον.**

**Χ**ριστοῦ τοῦ Ζωδότου
Μῆτερ γλυκυτάτη,
τοῦ Νικηφόρου θερμαῖς παρακλήσεσι
εἰς χαρμονὴν τὰς ὀδύνας ἡμῶν μετάστρεψον.

Ἄξιόν ἐστι.... **καὶ τὰ παρόντα Μεγαλυνάρια.**

**Π**αριδόντα λέπραν σωματικὴν
ἐν ἐσχάτοις χρόνοις

www.tezaurliturgic.ro


καὶ καθάραντα τὴν ψυχὴν
προσευχῇ συντόνῳ,
θεόπνουν Νικηφόρον,
οὗ λείψανα βλυστάνει
μύρον, τιμήσωμεν.

Χαίροις, τῶν νοσούντων ὁ ἰατρός,
χαίροις, Νικηφόρε,
ὁ τὴν λέπραν τὴν σαρκικὴν
πίστεώς σου σθένει
σαφῶς μεταποιήσας
εἰς ψυχικήν σου ῥῶσιν,
πάτερ, καὶ δύναμιν.

Ἔχων παῤῥησίαν πρὸς τὸν Θεὸν
ὡς πνευματοφόρος
καὶ πανόσιος ἀσκητής,
Νικηφόρε, πάντας
ἐκλύτρωσαι κινδύνων,
τοὺς σὲ ὑμνολογοῦντας,
νόσων καὶ θλίψεων.

Χαίροις, τῶν Χανίων σεπτὸς βλαστός,
τοῦ Σιλικαρίου
τὸ ἐκβλάστημα τὸ σεπτόν,
χαίροις, Νικηφόρε,
λεπροκομείου Χίου
οἰκῆτορ θεοφόρε,
πάτερ, καὶ σέμνωμα.

Χαίροις, ὀλετήριον ταχινὸν
τοῦ ἰοῦ κορώνης,
Νικηφόρε θαυματουργέ,
χαίρις, θαυμασίων
ὁ αὐτουργὸς καὶ κρήνη
παντοίων ἰαμάτων,
ἡ ἀκεσώδυνος.

Χαίροις, Νικηφόρε, ὁ τῶν λεπρῶν
σὺν Ἀνθίμῳ θείῳ
ὁ διάκονος ἀληθῶς,
χαίροις, Εὐμενίῳ
ὁ δείξας τῷ ὁσίῳ

www.tezaurliturgic.ro


σὴν κεκρυμμένην χάριν
ἅμα καὶ δύναμιν.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί,
Πρόδρομε Κυρίου,
Ἀποστόλων ἡ δωδεκάς,
οἱ Ἅγιοι πάντες,
μετὰ τῆς Θεοτόκου
ποιήσατε πρεσβείαν
εἰς τὸ σωθῆναι ἡμᾶς.

**Τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.**
**Ἦχος πλ. α´. Τὸν συνάναρχον Λόγον.**

Τὸν γνωστὸν τοῖς Ἀγγέλοις Χριστοῦ καὶ ἄγνωστον
τοῖς χοϊκοῖς, Νικηφόρον,
θεοειδῆ μοναχόν,
κατ' ἐχθροῦ τοῦ παλαμναίου νίκας φέροντα,
ἀνευφημήσωμεν τυφλὸν
καὶ παράλυτον λεπρόν,
ὡς Ἄγγελον σαρκοφόρον,
βοῶντες· Πάτερ, δυσώπει
Χριστῷ σωθῆναι τοὺς τιμῶντάς σε.

**Ἐκτενὴς καὶ Ἀπόλυσις, μεθ' ἣν ψάλλομεν τὸ ἑξῆς·**
**Ἦχος β´. Ὅτε ἐκ τοῦ Ξύλου.**

Πᾶσι, Νικηφόρε, εὐλαβῶς
σπεύδουσι τῇ σῇ παρρησίᾳ
πρὸς ἰατρὸν τῶν ψυχῶν
καὶ σωμάτων, Κύριον
τὸν πολυεύσπλαγχνον,
Θείας Χάριτος σκήνωμα,
λεπρέ, παρειμένε
καὶ τυφλέ,κατάπεμψον
ἄμφω ὑγίειαν,
τοῖς ἐν ἀσθενείαις κειμένοις,
ἵνα σὲ τιμῶμεν ὡς νόσων
ἀλγεινῶν ταχὺ ἀλεξιτήριον.

Δέσποινα, πρόσδεξαι
τὰς δεήσεις τῶν δούλων σου
καὶ λύτρωσαι ἡμᾶς
ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου
εἰς σὲ ἀνατίθημι,
Μῆτερ τοῦ Θεοῦ,
φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

**Δίστιχον.**

**Νικηφόρε, ἰοῦ κορώνης συντήρει**
**πιστοὺς ἀνωτέρους, βοᾷ Χαραλάμπης.**

**Τ Ε Λ Ο Σ**

**Κ Α Ι   Δ Ο Ξ Α**

**Τ ῼ   Μ Ο Ν ῼ   Α Λ Η Θ Ι Ν ῼ**

**Θ Ε ῼ   Η Μ Ω Ν**

**Ἀριθμ. Καταλ.  Π  750 / 16 -3-20**